καὶ τοῦ εὐφρανθῆναι ἐν μόχθῳ αὐτοῦ,
τοῦτο δόμα θεοῦ ἐστιν.
19 ὅτι οὐ πολλὰ μνησθήσεται τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ·
ὅτι ὁ θεὸς περισπᾷ αὐτὸν ἐν εὐφροσύνῃ καρδίας αὐτοῦ.

6 1 Ἔστιν πονηρία, ἣν εἶδον ὑπὸ τὸν ἥλιον,
καὶ πολλή ἐστιν ἐπὶ τὸν ἄνθρωπον·
2 ἀνήρ, ᾧ δώσει αὐτῷ ὁ θεὸς
πλοῦτον καὶ ὑπάρχοντα καὶ δόξαν,
καὶ οὐκ ἔστιν ὑστερῶν τῇ ψυχῇ αὐτοῦ
ἀπὸ πάντων, ὧν ἐπιθυμήσει,
καὶ οὐκ ἐξουσιάσει αὐτῷ ὁ θεὸς τοῦ φαγεῖν ἀπ᾽ αὐτοῦ,
ὅτι ἀνὴρ ξένος φάγεται αὐτόν·
τοῦτο ματαιότης καὶ ἀρρωστία πονηρά ἐστιν.
3 ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν καὶ ἔτη πολλὰ ζήσεται,
καὶ πλῆθος ὅ τι ἔσονται ἡμέραι ἐτῶν αὐτοῦ,
καὶ ψυχὴ αὐτοῦ οὐκ ἐμπλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης,
καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ,
εἶπα Ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα,
4 ὅτι ἐν ματαιότητι ἦλθεν καὶ ἐν σκότει πορεύεται,
καὶ ἐν σκότει ὄνομα αὐτοῦ καλυφθήσεται,
5 καί γε ἥλιον οὐκ εἶδεν καὶ οὐκ ἔγνω,
ἀνάπαυσις τούτῳ ὑπὲρ τοῦτον.
6 καὶ εἰ ἔζησεν χιλίων ἐτῶν καθόδους
καὶ ἀγαθωσύνην οὐκ εἶδεν,
μὴ οὐκ εἰς τόπον ἕνα τὰ πάντα πορεύεται;
7 Πᾶς μόχθος τοῦ ἀνθρώπου εἰς στόμα αὐτοῦ,
καί γε ἡ ψυχὴ οὐ πληρωθήσεται.
8 ὅτι τίς περισσεία τῷ σοφῷ ὑπὲρ τὸν ἄφρονα;
διότι ὁ πένης οἶδεν πορευθῆναι κατέναντι τῆς ζωῆς.
9 ἀγαθὸν ὅραμα ὀφθαλμῶν ὑπὲρ πορευόμενον ψυχῇ.
καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.
10 Εἴ τι ἐγένετο, ἤδη κέκληται ὄνομα αὐτοῦ,
καὶ ἐγνώσθη ὅ ἐστιν ἄνθρωπος,
καὶ οὐ δυνήσεται τοῦ κριθῆναι μετὰ τοῦ ἰσχυροῦ ὑπὲρ αὐτόν·
11 ὅτι εἰσὶν λόγοι πολλοὶ πληθύνοντες ματαιότητα.

19$^1$ ου πολλα] ουκ αλλα B*†, ου πολλας SA

6 1$^2$ επι] υπο BS* || 2$^4$ παντος ου A | επιθυμει A† | 2$^5$ του > A† | 2$^6$ φαγεται] pr. κατα S* | αυτα AS$^c$† | 2$^7$ τουτο B†] pr. οτι και γε S†, pr. και γε rel. || 3$^2$ ημεραι] pr. αι A | 3$^3$ ψυχη] pr. η SA | ου πλησθησεται B†: cf. 1 8 | της BV†] > rel. || 5$^2$ αναπαυσεις BSA (in B ad 5$^1$ tractum) || 6$^3$ τα παντα / πορ.] tr. S, τα παντα > B† | πορευσεται S || 7$^1$ του > B† | 7$^2$ η > A || 8$^1$ τις > BS* || 10$^1$ ει] η AC† | κεκληκεν A† | ονομα] pr. το S$^c$V | 10$^2$ εγνωσθη ο] pr. ο S† | 10$^3$ του 1$^0$ > B | ισχυροτερου S || 11$^1$ λογοι] ολιγοι S†